Βοττία. Βοττιαῖοι.

« Ὡς δὲ ἐς τὴν Θέρμην ἀπίκετο ὁ Ξέρξης, ἵδρυσε αὐτοῦ τὴν στρατιήν, ἐπέσχε δὲ . . τὴν παρὰ θάλασσαν χώρην τοσήνδε, ἀρξάμενος ἀπὸ Θέρμης πόλιος καὶ τῆς Μυγδονίης μέχρι Λυδίεώ τε ποταμοῦ καὶ Ἁλιάκμονος, οἳ οὐρίζουσι γῆν τὴν Βοττιαιίδα τε καὶ Μακεδονίδα, ἐς τὠυτὸ ῥέεθρον τὸ ὕδωρ συμμίσγοντες. ἐστρατοπεδεύοντο μὲν δὴ ἐν τούτοισι τοῖσι χωρίοισι οἱ βάρβαροι. τῶν δὲ καταλεχθέντων τούτων ποταμῶν ἐκ Κρηστωναίων ῥέων Ἐχείδωρος μοῦνος οὐκ ἀντέχρησε τῇ στρατιῇ πινόμενος, ἀλλ᾽ ἐπέλιπε . . . Ἡροδ. Ζ΄ 127 σ. 373

. . . .

Βοττία

« Ἐν ταῖς ἐπιγραφαῖς ἐν αἷς σημειοῦνται τὰ ὑπὸ τῶν συμμάχων τοῖς Ἀθηναίοις πληρωνόμενοι φόροι φαίνονται πληρώνοντες 200 διακοσίας δραχμάς
(Antiquités Helléniques ὑπὸ Ραγκαβῆ Τ. Α΄ σ. 236 Ἀρ. ἐπιγρ. 201.)
ἐν δὲ τῇ ἱστορ. Κερτίου Τ. Β΄ σ. 847. ἐν τῷ θρακικῷ φόρῳ σημειοῦνται κατὰ τὴν Μενδαίδα γ-ραφὴ Δικαίας ἐρέτριων. « Βοττιαῖοι (Σπαρτώλιοι).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Βοττική. Βοττιαῖοι. Βοττία.

429 π. Χ. 87 4. Ολυμπ.

Ἐπὶ ἄρχοντος Ἀθήνησιν Ἐπαμείνονος — Διοδ. Σικελ. Βιβ. XII Κεφ. 47ο Σελ. 476

«... Ἀθηναῖοι δὲ στρατηγοὺς καταστήσαντες Ξενοφῶντα καὶ Φανόμαχον ἐξέπεμψαν ἐπὶ Θρᾴκην μετὰ στρατιωτῶν χιλίων. οὗτοι δὲ παραγενηθέντες εἰς Σπάρτωλον τῆς Βοττικῆς ἔφθειραν τὴν χώραν καὶ τὸν σῖτον ἐν χλόῃ ἐξέκοψαν. προσβοηθησάντων δὲ τοῖς Βοττιαίοις Ὀλυνθίων, ἡττήθησαν ὑπὸ [illegible] μάχῃ· ἀνῃρέθησαν δὲ τῶν Ἀθηναίων οἵ τε στρατηγοὶ καὶ τῶν στρατιωτῶν οἱ πλείους.

«τοῖς ἐπὶ Θρᾴκης Χαλκιδεῦσι καὶ Βοττιαίοις. — Θουκ. 1.57.

Ἐκ δὲ τῆς Βοττίας [illegible], Βοττιαίους, οἳ νῦν ὅμοροι οἰκοῦσι Χαλκιδέων. — [illegible].99

Βοττιαῖοι.

325

XVI. 10. Ἀριστοτέλης δὲ καὶ αὐτὸς ἐν τῇ τῶν Βοττιαίων πολιτείᾳ δῆλός ἐστιν οὐ νομίζων ἀναιρεῖσθαι τοὺς παῖδας ὑπὸ τοῦ Μίνω, ἀλλὰ θητεύοντας ἐν τῇ Κρήτῃ καταγηράσκειν· καί ποτε Κρῆτας εὐχὴν παλαιὰν ἀποδιδόντας ἀνθρώπων ἀπαρχὴν εἰς Δελφοὺς ἀποστέλλειν, τοῖς δὲ πεμπομένοις ἀναμιχθέντας ἐκγόνους ἐκείνων(1) συνεξελθεῖν· ὡς δὲ οὐκ ἦσαν ἱκανοὶ τρέφειν ἑαυτοὺς αὐτόθι, πρῶτον μὲν εἰς Ἰταλίαν διαπεράσαι κἀκεῖ κατοικεῖν περὶ τὴν Ἰαπυγίαν, ἐκεῖθεν δὲ αὖθις εἰς Θρᾴκην κομισθῆναι καὶ κληθῆναι Βοττιαίους· διὸ τὰς κόρας τῶν Βοττιαίων θυσίαν τινὰ τελούσας ἐπᾴδειν· Ἴωμεν εἰς Ἀθήνας. . . . .

Πλουτ. Θησεύς. δη 12.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

(1) τῶν ἐξ Ἀθηνῶν ἐς Κρήτην σταλλομένων καθ' ἔτος.

Βοττιαίοι

Στράβων Ζ. Σελ 455. Ότι Ημαθία εκαλείτο πρότερον η νυν Μακεδονία . . . . . . ην δε η πόλις Ημαθία προς θαλάσσῃ. κατείχον δε την χώραν ταύτην Ηπειρωτών τινές και Ιλλυριών, το δε πλείστον Βοττιαίοι και Θράκες· οι μεν εκ Κρήτης, ως φασι, το γένος όντες, ηγεμόνα έχοντες Βόττωνα . . . . . .

Σελ. 456 Το δε εθνικόν Β. Βοττεάτα δια του ε ως Στράβων εν ζ. καλείται δε από Βόττωνος του Κρητός Ετυμολ. Μ. p. 206. 6.

Σελ. 459 Ως κείται όσα η Μεθώνη της μεν Πύδνης όσον τετταράκοντα σταδίων απέχει της Αλώρου δε εβδομήκοντα. έστι δ' η Άλωρος το μυχαίτατον του Θερμαίου κόλπου* λέγεται δε Θεσσαλονίκεια δια την ευπραγίαν. την μεν ουν Άλωρον Βοττιαίαν νομίζουσι. την δε Πύδναν Πιερικήν. Πέλλα εστι μεν της κάτω Μακεδονίας ην Βοττιαίοι κατείχον